**ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον /**
**antispasticum dimetrum hypercatalectum**

× ×̆̆ – ⏑ × – ⏑ – ⏓

**1.** Hephaest. 32. 18 sqq. δίμετρον δὲ (*scil.* ἀντισπαστικόν) ὑπερκατάληκτον τὸ καλούμενον σαπφικὸν ἐννεασύλλαβον ἢ ἱππωνάκτειον, οἷον· (Hippon. *206 Degani)

καὶ κνίσῃ τινὰ θυμιήσας.

Tzetz. *de metr. Pind.* 117. 18 sqq.

τέταρτον ἀντισπαστικὸν ὑπερκατάληκτόν τε
καὶ δίμετρον· ἐμμέμεικται συνάμα τοῖς ἰάμβοις·
ὁ δεύτερος ἀντίσπαστος ἐκ δύο γὰρ ἰάμβων.
ἀντίσπαστοι
⏒ ⏓ – ⏑ ⏑ – ⏑ – – .

Trich. 389. 21 sqq. δίμετρον δὲ ὑπερκατάληκτον, ὅπερ καὶ σαπφικὸν καὶ ἱππωνάκτειον ὀνομάζεται, ἅτε δὴ Σαπφοῦς καὶ Ἱππώνακτος κατακόρως αὐτῷ χρησαμένων, τό·

λύοισα δνοφερὰν κνέφαος.

τοῦτο δὲ ἕνα μόνον τὸν πρῶτον ἀντίσπαστον ἔχει, ἑξῆς δὲ διποδίαν ἰαμβικὴν καὶ μίαν περιττὴν συλλαβήν. τοῦτο δὲ καὶ ἐννεασύλλαβον λέγεται αὐτό· ἐννέα γὰρ ἔχει τὰς ὅλας αὐτὸ συλλαβάς.

Anon. Harl. 23. 26 sq. δίμετρον (*scil.* ἀντισπαστικόν) ὑπερκατάληκτον· (Pind. *Ol.* 1. 23)

Συρακούσιον ἱπποχάρμαν.

Anon. Vat. 23 (Pind. *Ol.* 9. 28)

⏓ ⏒ – ⏑ . ⏑ – . ⏑ – . – .
καὶ σοφοὶ κατὰ δαίμον᾽ ἄνδρες

δίμετρον (*scil.* ἀντισπαστικόν) ὑπερκατάληκτον σαπφικὸν ἐνεασύλλαβον, ὃ καλεῖται καὶ ἱππωνάκτειον πλεονάζοντος γλυκωνείου μιᾷ συλλαβῇ. διαφέρει δὲ τοῦτο τοῦ πινδαρικοῦ, ὅτι τοῦτο μὲν ἔχει τὸν α(ον) ἀντίσπαστον ἀλλασσόμενον εἰς τοὺς δισυλλάβους κατὰ τὴν πρώτην χώραν καὶ ἐνεασύλλαβόν ἐστι. τὸ δὲ πινδαρικὸν ἀμετάβλητον ἀντίσπαστον ἔχει τὸν πρῶτον καὶ χορίαμβον τὸν δεύτερον καὶ ἑνδεκασύλλαβον ὑπάρχει ὡς τό· (Pind. fr. 116 Snell-Mahler)

ὁ μουσαγέτας με καλεῖ χορεῦσαι ...

(Pind. *Ol.* 14. 16)

⏑ –  – ⏑ . ⏑ – . ⏑ – . – .
-ρασίμολπε ἰδοῖσα τόνδε

ὅμοιον σαπφικόν.

Schol. vet. in Pind. *Ol.* 14 (p. 13. 10 sq. Tessier) τὸ δ′ ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον.

Schol. rec. in Pind. *Ol.* 9 (p. 312. 6 sqq. Abel) τὸ ι′ ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον ἐννεασύλλαβον, ὃ καλεῖται σαπφικόν, ἐκ τροχαίων ἀρχόμενον. πλεονάζει δὲ τοῦ γλυκωνείου μιᾷ συλλαβῇ.

Schol. rec. in Pind. *Ol.* 14 (p. 421. 22 sqq. Abel) τὸ δʹ ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον ἐκ τροχαικῆς καὶ ἰαμβικῆς συζυγίας μεμιγμένον.

Schol. in Aesch. *Ag.* 1119 (I, p. 87. 1 Smith) + τὸ εʹ δίμετρον (*scil.* ἀντισπαστικόν) ὑπερκατάληκτον.

Schol. in Aesch. *sept.* 78-150b (II 2, p. 49. 31 sq. Smith) + τὸ καʹ ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον ἐξ ἀντισπάστου ἢ ἐπιτρίτου τετάρτου, διιάμβου καὶ συλλαβῆς.

Schol. Tricl. in Eur. *Hec.* 444-454a (p. 25 de Faveri) τὸ β´ ὅμοιον δίμετρον (*scil.* ἀντισπαστικόν) ὑπερκατάληκτον ἐξ ἐπιτρίτου δ´, διιάμβου καὶ συλλαβῆς ἀδιαφόρου.

Schol. Tricl. in Eur. *Hec.* 629-637a (p. 29 de Faveri) τὸ γ´ ὅμοιον (*scil.* ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον) ἐξ ἐπιτρίτου γ´ (*immo* δ´), διιάμβου καὶ συλλαβῆς.

Schol. Tricl. in Eur. *Hec.* 905-913a (p. 35 de Faveri) τὸ η´ ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον ἐξ ἐπιτρίτου δ´, διιάμβου καὶ συλλαβῆς. τὸ θ´ ὅμοιον δίμετρον ὑπερκατάληκτον καθαρὸν ἐξ ἀντισπάστου, διιάμβου καὶ συλλαβῆς.

Schol. Tricl. in Eur. *Or.* 831-843a (p. 60 de Faveri) τὸ ιγ´ ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον ἐξ ἀντίσπαστου, διιάμβου καὶ συλλαβῆς.

Schol. Tricl. in Eur. *Or.* 1426-1451a (p. 77 de Faveri) τὸ ιε´ ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον ἐξ ἀντισπάστου, ἐπιτρίτου γ´ καὶ συλλαβῆς.

Schol. Tricl. in Eur. *Phoen.* 182-192a (p. 93 de Faveri) τὸ η´ ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον, ὃ καλεῖται σαπφικὸν ἢ ἱππωνάκτειον ἐξ ἐπιτρίτου δ´ καὶ τρίτου καὶ συλλαβῆς.

Schol. Tricl. in Eur. *Phoen.* 1508-1538a (p. 121 de Faveri) τὸ λβ´ ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον ἐξ ἀντισπάστου, ἐπιτρίτου γ´ καὶ συλλαβῆς.

Schol. rec. in Aristoph. *nub.* 804a. 4 sq. (p. 117 Koster) Tr[1] τὸ βʹ· (v. 804 sq.)

δι᾽ ἡμᾶς ἀγάθ᾽ αὐτίχ᾽ ἕξων

δίμετρον (*scil.* ἀντισπαστικόν) ὑπερκατάληκτον ἐξ ἀντισπάστου, διιάμβου καὶ συλλαβῆς.

Schol. rec. in Aristoph. *ran.* 340-353a. 3 sqq. (p. 65 Chantry) τὸ βʹ (v. 342) ʻτινάσσων,᾿Ἴακχ᾽ ὦ᾿Ἴακχεʼ δίμετρον (*scil.* ἀντισπαστικόν) ὑπερκατάληκτον, ἐξ ἀντισπάστου, ἐπιτρίτου τρίτου καὶ συλλαβῆς ἀδιαφόρου.

Schol. rec. in Aristoph. *ran.* 340-353c. 3 sq. (p. 66 Chantry) τὸ ιβʹ (v. 342) (*scil.* ἀντισπαστικόν) δίμετρον βραχυκατάληκτον (*sic*), ἐκ δύο βακχείων καὶ ἀμφιβράχεος.

Schol. rec. in Aristoph. *ran.* 1309-1324b. 11 sq. (p. 219 Chantry) τὸ ιʹ (v. 1317) ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον, τοῦ πρώτου ποδὸς πεντασυλλάβου.

× × ⏖ ⏑ – ⏑ – × ⏓

**2.** Anon. Harl. 24. 3 sq. δίμετρον (*scil.* ἀντισπαστικόν) ὑπερκατάληκτον· (Pind. *Ol.* 1. 11)

μάκαιραν Ἱέρωνος ἑστίαν.

Schol. in Aesch. *Ag*. 1407 (I, p. 88. 9 sq. Smith) + στροφὴ χοροῦ ἐκ κώλων ἀντισπαστικῶν ε′, ὧν τὸ α′ δίμετρον ὑπερκατάληκτον.

Schol. in Aesch. *Pers*. 125 (p. 37. 17 sqq. Massa Positano) + τὸ δ′ ὅμοιον δίμετρον ὑπερκατάληκτον ἐξ ἰάμβου ἀρχόμενον, εἰ δὲ βούλει, ἀντισπαστικὸν ἐξ ἀντισπάστου, διτροχαίου καὶ συλλαβῆς.

Schol. in Aesch. *Pers*. 548 (p. 50. 20 sqq. Massa Positano) + τὸ α′ ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον, ἐξ ἐπιτρίτου δ′, διτροχαίου καὶ συλλαβῆς, εἰ δὲ βούλει τροχαικὸν διόλου.

Schol. in Aesch. *Prom*. 593 (p. 48 Smyth) τὸ ις′ ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον, ἐξ ἀντισπάστου διτροχαίου καὶ συλλαβῆς.

Schol. in Aesch. *sept*. 78-150b (II 2, p. 49. 24 sqq. Smith) + τὸ ιδ′ ὅμοιον δίμετρον ὑπερκατάληκτον ἐξ ἀντισπάστου, ἐπιτρίτου δευτέρου καὶ συλλαβῆς.

Schol. in Aesch. *sept*. 563-567c (II 2, p. 254. 16 sq. Smith) + τὸ γ′ ὅμοιον δίμετρον ὑπερκατάληκτον ἐκ παίωνος πεντασυλλάβου, διτροχαίου καὶ συλλαβῆς.

Schol. in Aesch. *sept*. 734-741b (II 2, p. 319. 28 sq. Smith) + τὸ δ′ ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον ἐξ ἀντισπάστου, διτροχαίου καὶ συλλαβῆς.

Schol. in Aesch. *sept*. 888-893b (II 2, p. 372. 24 sqq. Smith) + τὸ α′ ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον ἐξ ἀντισπάστου, διτροχαίου καὶ συλλαβῆς, τὸ τῆς ἀντιστροφῆς δὲ κῶλον ἐπιτρίτους ἔχει ἀντὶ τούτων.

Schol. Tricl. in Eur. *Hec*. 1024-1034a (p. 38 de Faveri) τὸ η΄ ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον ἐξ ἀντισπάστου ἐπιτρίτου δ΄ καὶ συλλαβῆς.

× ⏑⏑̽ ⏖ ⏑ × ⏖ – ⏑ ⏓

**3.** Schol. vet. in Pind. *Pyth*. 11 (p. 21. 3 Tessier) τὸ γ′ ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον.

Schol. rec. in Pind. *Pyth*. 11 (p. 176. 10 sq. Irigoin) τὸ γ΄ ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον ἐκ τροχαικῆς συζυγίας, ἀντισπάστου καὶ συλλαβῆς.

Schol. in Aesch. *Ag*. 1136 (I, p. 87. 7 sq. Smith) + τὸ β′ δίμετρον ὑπερκατάληκτον ἀντισπαστικόν.

Schol. in Aesch. *Ag*. 1162 (I, p. 87. 19 sq. Smith) + ἑτέρα στροφὴ τοῦ χοροῦ κώλων ε′ ἀντισπαστικῶν, ὧν τὸ α′ δίμετρον ὑπερκατάληκτον.

Schol. in Aesch. *Pers*. 286 (p. 44. 24 sq. Massa Positano) + τὸ δὲ γ′ (*scil.* τὸ ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον) τὸν β′ πόδα ἀντίσπαστον.

Schol. in Aesch. *Pers*. 568 (p. 52. 13 sqq. Massa Positano) + τὸ γ′ ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον, ἐξ ἐπιτρίτου δ′, ἀντισπάστου καὶ συλλαβῆς.

Schol. in Aesch. *sept*. 78-150b (II 2, p. 50. 35 sq. Smith) + τὸ νθ′ ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον ἐξ ἀντισπάστων δύο καὶ συλλαβῆς.

Schol. in Aesch. *sept*. 166-172b (II 2, p. 88. 8 sqq. Smith) + τὸ δ′ ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον ἐκ παίωνος τρίτου, ἀντισπάστου καὶ συλλαβῆς· εἰ δὲ βούλει, ἰαμβικὸν δίμετρον ἀκατάληκτον τοῦ δευτέρου ποδὸς χορείου.

Schol. Tricl. in Eur. *Phoen*. 1539-1545a (p. 121 de Faveri) τὸ α΄ ἀντισπαστικὸν καθαρὸν δίμετρον ὑπερκατάληκτον.

⏑ ⏕ – ⏑ – ⏑ ⏑ ⏑ –

**4.** Schol. rec. in Pind. *Ol.* 1 (p. 47. 8 sqq. Abel) τὸ ιε′ ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον ἐξ ἀντισπάστου καὶ παίωνος α′ καὶ συλλαβῆς. ἔν τισι δὲ τῶν κώλων καὶ πεντασύλλαβός ἐστιν ὁ ἀντίσπαστος.

Schol. rec. in Aristoph. *nub.* 1385a. 15 sq. (p. 188 Koster) Tr[1] τὸ ε′ δίμετρον ὑπερκατάληκτον ἀντισπαστικὸν ἐξ ἀντισπάστου, παιῶνος α′ καὶ συλλαβῆς·

⏑ – – ⏑ ⏑ ⏑ – – –

**5.** Schol. anon. in Eur. *Hec.* 154-215 (p. 3. 6 sqq. Smith) τὸ μη΄ ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον ἐξ ἀντισπάστου, ἰωνικοῦ ἀπ᾽ ἐλάσσονος καὶ συλλαβῆς.

Schol. Tricl. in Eur. *Or.* 140-165a (p. 46 de Faveri) τὸ ς΄ ὅμοιον δίμετρον (*scil.* ἀντισπαστικόν) ὑπερκατάληκτον ἐξ ἐπιτρίτου α΄ καὶ παίωνος γ΄ καὶ συλλαβῆς. ἐν δὲ τῷ τῆς ἀντιστροφῆς κώλῳ ἀντίσπαστον ἔχει καὶ ἰωνικὸν ἀπ᾽ ἐλάττονος.

⏑ – – ⏑ – – – – –

**6.** Schol. anon. in Eur. *Hec.* 1024-1034 (p. 8. 16 sq. Smith) τὸ ε΄ ὅμοιον δίμετρον (*scil.* ἀντισπαστικόν) ὑπερκατάληκτον ἐξ ἀντισπάστου, δισπονδείου καὶ συλλαβῆς.

– – – ⏑ – – – ⏑ –

**7.** Tzetz. *de metr. Pind.* 121. 27 sqq. τὸ πέμπτον ἀντισπαστικὸν ὑπερκατάληκτόν τε καὶ δίμετρον καθέστηκε· διάφοροι οἱ πόδες· τῶν ἀντισπάστων οἱ πρῶτοι σπονδεῖοι γάρ εἰσί γε. ἀντίσπαστοι.

– – – ⏑ – – – ⏑ –

Schol. vet. in Pind. *Pyth.* 1 (p. 14. 7 sq. Tessier) τὸ ε′ ἀντισπαστικὸν <δίμετρον> (*add. Tzetzes*) ὑπερκατάληκτον, τοῦ α′ ποδὸς τῆς β′ συζυγίας ἀδιαφόρου ὄντος.

Schol. rec. in Pind. *Pyth.* 1 (p. 429. 13 sqq. Abel) τὸ ε′ ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον· ἔχει δ᾽ ἐπιτρίτους δ′ ἀντὶ ἀντισπάστων.

⏑⏑× ⏕ ⏑⏑⏑ – ⏑ ⏕ – ⏑ –

**8.** Anon. Vat. 23 (Pind. *Ol.* 14. 1 sq.)

⏒ – ⏑ – . ⏑ – – ⏑ . – .

‘Καφισίων ὑδάτων λαχοῖ-’

ὅμοιον (*scil.* ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον) σαπφικὸν ἐνεασύλλαβον, ἢ ἱππωνάκτειον, εὕρεμα (*sic.*) γὰρ τῆς Σαπφοῦς. ἡ δὲ χρῆσις τοῦ Ἱππώνακτος.

Schol. in Aesch. *Ag.* 1100 (I, p. 86. 21 sq. Smith) + ἑτέρα στροφὴ ἔχουσα κῶλα ε′, ὧν τὸ πρῶτον ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον.

Schol. in Aesch. *Ag.* 1114 (I, p. 86. 29 sqq. Smith) + ἐντεῦθεν ἑτέρως ἐσχημάτισε τὸ μέτρον καὶ προέθηκε τῆς στροφῆς κῶλόν τι τὸ ἓ ἕ. τὰ δὲ ἑξῆς κῶλά εἰσι ε′, ὧν τὸ α′ ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον … τὸ δ′ ὅμοιον τῷ α′.

Schol. Byz. in Soph. *Oed. tyr.* 190 (p. 271. 19 sq. Longo) τὸ νγ´ ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον ἐξ ἰαμβικῆς συζυγίας, ἀντισπάστου καὶ συλλαβῆς.

Schol. Tricl. in Eur. *Or.* 1361-1368a (p. 73 de Faveri) τὸ ς ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον ἐξ ἰαμβικῆς συζυγίας καὶ ἀντισπάστου καὶ συλλαβῆς.

– ◡ – – ◡ – – ◡ ⏓

**9.** Schol. anon. in Eur. *Hec.* 1056-1084 (p. 8. 26 sq. Smith) τὸ κδ´ ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον ἐξ ἐπιτρίτου β´, ἀντισπάστου καὶ συλλαβῆς.

Schol. Tricl. in Eur. *Hec.* 1056-1084a (p. 40 de Faveri) τὸ κθ´ ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον ἐξ ἐπιτρίτου β´, ἀντισπάστου καὶ συλλαβῆς.

Schol. in Aristoph. *pac.* 1127b. α. 10 sq. (p. 162 Holwerda) Tr τὸ ζ′ ὅμοιον δίμετρον (*scil.* ἀντισπαστικόν) ὑπερκατάληκτον.

Schol. in Aristoph. *pac.* 1127b. β. 8 sq. (p. 162 Holwerda) τὸ ζ′ ὅμοιον ὑπερκατάληκτον (*scil.* ἀντισπαστικὸν δίμετρον) Ald.

Schol. rec. in Aristoph. *ran.* 1356-1363a. 9 sqq. (p. 230 Chantry) τὸ μβ′ (v. 1360) ‘τὰς κυνίσκας ἔχουσ᾽ ἐλθέτω᾽ ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον, ἐξ ἐπιτρίτου δευτέρου, ἀντισπάστου καὶ συλλαβῆς.

◡ – – – ◡ – ◡ – –

**10.** Schol. in Aesch. *sept.* 78-150b (II 2, p. 50. 16 sqq. Smith) + τὸ μβ′ ὅμοιον δίμετρον ὑπερκατάληκτον ἐξ ἐπιτρίτου πρώτου, διιάμβου καὶ συλλαβῆς … τὸ μθ′ ὅμοιον κατὰ πάντα τῷ μβ′.

Schol. in Aesch. *sept.* 287-303b (II 2, p. 140. 2 sq. Smith) + τὸ γ′ ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον ἐξ ἐπιτρίτου πρώτου, [δι]ιάμβου καὶ συλλαβῆς.

Schol. in Aesch. *sept.* 321-332b (II 2, p. 153. 9 sq. Smith) + τὸ ιβ′ ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον ἐξ ἐπιτρίτου πρώτου, διιάμβου καὶ συλλαβῆς.

Schol. in Aesch. *sept.* 932-940c (II 2, p. 385. 22 sq. Smith) + τὸ ε′ ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον ἐξ ἐπιτρίτου πρώτου, διιάμβου καὶ συλλαβῆς.

Schol. Tricl. in Eur. *Hec.* 629-637a (p. 29 de Faveri) τὸ β´ ὅμοιον ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον ἐξ ἐπιτρίτου α´, διιάμβου καὶ συλλαβῆς.

Schol. Tricl. in Eur. *Phoen.* 202-238a (p. 95 de Faveri) τὸ κδ´ ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον ἐξ ἐπιτρίτου α´, καὶ διιάμβου καὶ συλλαβῆς.

◡ – – – ◡ ◡ – ◡ –

**11.** Schol. Tricl. in Eur. *Or.* 140-165a (p. 46 de Faveri) τὸ ς´ ὅμοιον (*scil.* ἀντισπαστικόν) δίμετρον ὑπερκατάληκτον ἐξ ἐπιτρίτου α´ καὶ παίωνος γ´ καὶ συλλαβῆς.

◡ – – – – ◡ ◡ ◡ –

**12.** Schol. Tricl. in Eur. *Or.* 316-331a (p. 51 de Faveri) τὸ ια´ ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον ἐξ ἐπιτρίτου α´ παίωνος α´ καὶ συλλαβῆς· εἰ δὲ βούλει ἀκατάληκτον τοῦ β´ ποδὸς διτροχαίου πεντασυλλάβου.

⏑ – – – – – – ⏑ –

**13.** Schol. Tricl. in Eur. *Phoen*. 1019-1066 (p. 111 de Faveri) τὸ ζ´ ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον ἐξ ἐπιτρίτων πρώτου τετάρτου καὶ συλλαβῆς.

– – ⏑ – ⏑ ⏑ – ⏑ –

**14.** Schol. rec. in Pind. *Ol*. 14 (p. 419. 9 sqq. Abel) τὸ α′ ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον, τοῦ α′ ποδὸς ἐπιτρίτου γ′, τοῦ β′ παίωνος γ′ καὶ συλλαβῆς. καλεῖται δὲ σαπφικὸν ἢ ἱππωνάκτειον· εὕρημα γάρ ἐστι Σαπφοῦς, ὁ δὲ Ἱππῶναξ πολλάκις ἐχρήσατο. ἔστι δ᾿ ἐννεασύλλαβον.

– – ⏑ – ⏑ – ⏑ – –

**15.** Schol. in Aesch. *Pers*. 280 (p. 44. 11 sqq. Massa Positano) + τὸ γ′ ὅμοιον (*scil.* ἀντισπαστικὸν δίμετρον) ἐξ ἐπιτρίτου τρίτου, διιάμβου καὶ συλλαβῆς, ὑπερκατάληκτον.

Schol. Tricl. in Eur. *Hec*. 629-637a (p. 29 de Faveri) τὸ γ´ ὅμοιον (*scil.* ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον) ἐξ ἐπιτρίτου γ´(?), διιάμβου καὶ συλλαβῆς.

– – ⏑ – ⏑ – – – –

**16.** Schol. Tricl. in Eur. *Or*. 316-331a (p. 51 de Faveri) τὸ ιγ´ ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον ἐξ ἐπιτρίτου γ´ καὶ α´ συλλαβῆς. τὸ τῆς ἀντιστροφῆς δὲ κῶλον διαλελυμένην ἔχει τὴν τοιαύτην συλλαβὴν εἰς δύο βραχείας.

– – – – ⏑ – ⏑ – –

**17.** Schol. in Aesch. *sept*. 78-150b (II 2, p. 50. 17 sqq. Smith) + τὸ μγ′ ὅμοιον ἐκ δισπονδείου, διιάμβου καὶ συλλαβῆς ... τὸ μς′ ὅμοιον τῷ μγ′ κατὰ πάντα.

⏑ – – ⏑ –

**18.** Atil. Fortvn. GL VI 288. 20 sqq. dimetrum (*scil.* antispasticum) hypercatalectum:

volant praepetes. [*P.S.*]